# Dámón Athénský

Fragmenta DK 37 B

**B 1** = Cicero, De orat. III, 33, 132
num geometriam Euclide aut Archimede, num musicam Damone aut Aristoxeno, num ipsas litteras Aristophane aut Callimacho tractante tam discerptas fuisse [existimas], ut nemo genus universum complecteretur?

**B 2** = Filodémos, De musica IV, 33, 37 (104 Kemke)
πολλοὶ δ᾽ ἔτι νομίζουσι προσήκειν αὐτῆς [τῆς μουσικῆς] μεταλαμβάνειν τοὺς χαρίεντας καὶ μετειληφέναι (col. 34) καὶ Δάμων εἰ τοιαῦτα πρὸς τοὺς ἀληθινοὺς ἀρεοπαγίτας ἔλεγε καὶ μὴ τοὺς πλαττομένους, ἐφενάκιζεν ἀτηρῶς.

**B 3** = Filodémos, De musica I; fr. 11 (7 Kemke)
οἱ παίζον[τες ... τ]ὴν ἄσωτον [κατὰ Δά]μωνα παι[γ]νιάν.

**B 4** = Filodémos, De musica I, 13 (7 Kemke; Gomperz zu Phil. v. d. Musik 10)
καὶ τὴν ἕξιν ποι[ήσειν ἁρμ]ονικωτάτην καὶ ῥυθμικωτάτην, ἐπιζητή[σαντος] δέ τινος, πότερον εἰς [πάσας τ]ὰς ἀρετὰς ἢ τινὰς ἡ [μουσικ]ὴ προάγει, Δάμωνα [πάλιν φη]σὶν τὸν μουσικὸν [εἰς πάσα]ς σχεδὸν οἴεσθαι· λέ[γειν γὰ]ρ αὐτόν, προσήκειν [ἄιδοντ]α καὶ κιθαρίζον[τα τὸν πα]ῖδα μὴ μόνον ἀνδρε[ίαν ἐμφαί]νεσθαι καὶ σω[φροσύνη]ν, ἀλλὰ καὶ δι[καιοσύνην.]

**B 5** = Plútarchos, De musica 16
ἀλλὰ μὴν καὶ τὴν ἐπανειμένην Λυδιστί, εἴπερ ἐναντία τῆι Μιξολυδιστί, παραπλησίαν οὖσαν τῆι Ἰάδι, ὑπὸ Δάμωνος εὑρῆσθαί φασι τοῦ Ἀθηναίου.

**B 6** = Athénaios, Deipnosophistae XIV, 25 Kaibel; p. 628c
οὐ κακῶς δ᾽ ἔλεγον οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον ὅτι καὶ τὰς ὠιδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πως τῆς ψυχῆς, καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας, αἱ δ᾽ ἐναντίαι τὰς ἐναντίας.

**B 7** = Aristeidés Quntil., De musica II, 14
ὅτι γὰρ δι᾽ ὁμοιότητος οἱ φθόγγοι συνεχοῦς μελωιδίας πλάττουσί τε οὐκ ὂν ἦθος ἔν τε παισὶ καὶ τοῖς ἤδη προβεβηκόσι καὶ ἐνδομυχοῦν ἐξάγουσιν, ἐδήλουν καὶ οἱ περὶ

Δάμωνα· ἐν γοῦν ταῖς ὑπ᾽ αὐτοῦ παραδεδομέναις ἁρμονίαις τῶν φερομένων φθόγγων ὁτὲ μὲν τοὺς θήλεις ὁτὲ δὲ τοὺς ἄρρενας ἔστιν εὑρεῖν ἤτοι πλεονάζοντας ἢ ἐπ᾽ ἔλαττον ἢ οὐδ᾽ ὅλως παρειλημμένους, δῆλον ὡς κατὰ τὸ ἦθος ψυχῆς ἑκάστης καὶ ἁρμονίας χρησιμευούσης.

**B 8** = Platón, Laches 197d
καὶ γάρ μοι δοκεῖς οὐδὲ ᾐσθῆσθαι, ὅτι ταύτην τὴν σοφίαν παρὰ Δάμωνος τοῦ ἡμετέρου ἑταίρου παρείληφεν, ὁ δὲ Δάμων τῶι Προδίκωι πολλὰ πλησιάζει, ὃς δὴ δοκεῖ τῶν σοφιστῶν κάλλιστα τὰ τοιαῦτα ὀνόματα διαιρεῖν.

**B 9** = Platón, Respublica III; 400a-b
ὅτι μὲν γὰρ τρί᾽ ἄττα ἐστὶν εἴδη, ἐξ ὧν αἱ βάσεις πλέκονται [τὸ ἴσον, τὸ διπλάσιον, τὸ ἡμιόλιον] ὥσπερ ἐν τοῖς φθόγγοις τέτταρα ὅθεν αἱ πᾶσαι ἁρμονίαι, τεθεαμένος ἂν εἴποιμι· ποῖα δ᾽ ὁποίου βίου μιμήματα, λέγειν οὐκ ἔχω.
(400b) ἀλλὰ ταῦτα μέν, ἦν δ᾽ ἐγώ, καὶ μετὰ Δάμωνος βουλευσόμεθα, τίνες τε ἀνελευθερίας καὶ ὕβρεως ἢ μανίας καὶ ἄλλης κακίας πρέπουσαι βάσεις, καὶ τίνας τοῖς ἐναντίοις λειπτέον ῥυθμούς. οἶμαι δέ με ἀκηκοέναι οὐ σαφῶς ἐνόπλιόν τέ τινα ὀνομάζοντος αὐτοῦ ξύνθετον καὶ δάκτυλον καὶ ἡρῷόν γε, οὐκ οἶδα ὅπως διακοσμοῦντος καὶ ἴσον ἄνω καὶ κάτω τιθέντος, εἰς βραχύ τε καὶ μακρὸν γιγνόμενον, καί, ὡς ἐγὼ οἶμαι, ἴαμβον, καί τιν᾽ ἄλλον τροχαῖον ὠνόμαζε, μήκη δὲ καὶ βραχύτητας προσῆπτε. καὶ τούτων τισὶν οἶμαι τὰς ἀγωγὰς τοῦ ποδὸς αὐτὸν οὐχ ἧττον ψέγειν τε καὶ ἐπαινεῖν ἢ τοὺς ῥυθμοὺς αὐτούς, ἤτοι ξυναμφότερόν τι. οὐ γὰρ ἔχω λέγειν. ἀλλὰ ταῦτα μέν, ὥσπερ εἶπον, εἰς Δάμωνα ἀναβεβλήσθω· διελέσθαι γὰρ οὐ σμικροῦ λόγου.

**B 10** = Platón, Respublica IV; 424c
εἶδος γὰρ καινὸν μουσικῆς μεταβάλλειν εὐλαβητέον ὡς ἐν ὅλωι κινδυνεύοντα· οὐδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὥς φησί τε Δάμων καὶ ἐγὼ πείθομαι.